μέλπω πρὸς τὰν Ἀφροδίταν,
ἂν θηρεύων πετόμαν
Βάκχαις σὺν λευκόποσιν.
ὦ φίλος ὦ φίλε Βακχεῖε, ποῦ οἰοπολῶν
ξανθὰν χαίταν σείεις;
ἐγὼ δ' ὁ σὸς πρόπολος
θητεύω Κύκλωπι
τῷ μονοδέρκτᾳ δοῦλος ἀλαίνων
σὺν τᾷδε τράγου χλαίνᾳ μελέᾳ
σᾶς χωρὶς φιλίας.

ΣΙ. σιγήσατ', ὦ τέκν', ἄντρα δ' ἐς πετρηρεφῆ
ποίμνας ἀθροῖσαι προσπόλους κελεύσατε.
ΧΟ. χωρεῖτ'· ἀτὰρ δὴ τίνα, πάτερ, σπουδὴν ἔχεις;
ΣΙ. ὁρῶ πρὸς ἀκταῖς ναὸς Ἑλλάδος σκάφος
κώπης τ' ἄνακτας σὺν στρατηλάτῃ τινὶ
στείχοντας ἐς τόδ' ἄντρον, ἀμφὶ δ' αὐχέσι
τεύχη φέρονται κενὰ βορᾶς κεχρημένοι
κρωσσούς θ' ὑδρηλούς. ὦ ταλαίπωροι ξένοι,
τίνες ποτ' εἰσίν; οὐκ ἴσασι δεσπότην
Πολύφημον οἷός ἐστιν, ἄξενον στέγην
τήνδ' ἐμβεβῶτες καὶ Κυκλωπίαν γνάθον
τὴν ἀνδροβρῶτα δυστυχῶς ἀφιγμένοι.
ἀλλ' ἥσυχοι γίγνεσθ', ἵν' ἐκπυθώμεθα,
πόθεν πάρεισι Σικελὸν Αἰτναῖον πάγον.

ΟΔΥΣΣΕΥΣ

ξένοι, φράσαιτ' ἂν νᾶμα ποτάμιον πόθεν
δίψης ἄκος λάβοιμεν εἴ τέ τις θέλει
βορὰν ὀδῆσαι ναυτίλοις κεχρημένοις;
τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν ἐσβαλεῖν·

---

70 πρὸς delendum videtur 74 βακχεῖε (ει rescr. vel corr. *l*) *L* et litera inter χ et ε erasa *P* | ποῦ] scripsi, ποῖ *LP* | ποτ' inserit Hartung | οἰοπολῶν] Nauck, οἰοπολεῖς *L* (μόνος ἀναστρέφῃ superscr. *l*) *P* 75 σείεις *LP*, σείων *l*, ἀνασείεις W. Headlam, cfr. Bacch. 240 76 πρόπολος *LP*, πρόσπολος *l* 80 μέλεος Hermann 82 τέκνα *L*, τέκν' *lP* 86 ἄνακτα *LP*, ἄνακτας *l* 87 ἐς] fort. ἐπὶ 91 στέγην] χθόνα Musgrave 92 τήν γ' *L*, τήνδ' *P* 93 τὴν] Bothe, τὴν δ' *LP* | ἀνδροβῶτα *LP*, ρ super βω scr. *p* | versus suspectus 94 γένεσθ' Blomfield | ἐκπειθόμεθα *P*, ἐκπυθόμεθα *p* 98 κεχρημένοις] fort. ἐφθαρμένοις. Cfr. 88 et Iph. T. 276 99 ἔιγμεν Scaliger